ἀποχωρήσειν, τηνικαῦτα πολιορκοῦντα τὰ ἐν τῇ Θρᾴκῃ πο-
λίσματα Ἑλλήνων. ὡς οὖν πυθόμενοι οἱ Ἕλληνες ἀπεδέχοντό
τε καὶ ἕτοιμοι ἦσαν ἐπὶ τούτοις σπένδεσθαι, ξυνενεχθῆναι
σεισμόν τε μέγαν καὶ τὰ τείχη τῶν πόλεων διαρραγῆναι, ὥστε
αὐτοὺς ἑλεῖν ἀπὸ τούτου τὰ πλέω οἷς ἐπήλαυνον πολιορκοῦν-
B τες. καὶ ἑλόντας παρὰ τῶν Ἑλλήνων τὰ πολίσματα ἔχεσθαι
τοῦ λοιποῦ τῆς Εὐρώπης, μηδέν τι τοιοῦτον ἔτι προσιε-
μένους.

Μετὰ δὲ ταῦτα ἤλαυνεν ἐπὶ Μυσοὺς καὶ ἐπὶ Τριβαλλούς.
τὸ δὲ γένος τοῦτο παλαιότατόν τε καὶ μέγιστον τῶν κατὰ τὴν
οἰκουμένην ἐθνῶν, εἴτε ἀπὸ Ἰλλυριῶν μοίρας ἀπεσχισμένον
ταύτην ᾤκησε τὴν χώραν, εἴτε, ὡς ἔνιοι, ἀπὸ τῆς πέραν τοῦ
Ἴστρου ἐπ' ἐσχάτων τῆς Εὐρώπης, ἀπό τε Κροατίας καὶ
Προυσίων τῶν ἐς τὸν ἀρκτῷον ὠκεανὸν καὶ Σαρματίας τῆς
νῦν οὕτω Ῥωσίας καλουμένης, ἔστε ἐπὶ χώραν τὴν διὰ τὸ
ψῦχος ἀοίκητον, κἀκεῖθεν ὡρμημένοι καὶ τόν τε Ἴστρον δια-
βάντες ἐπὶ τὴν ἐς τὸν Ἰόνιον χώραν ἀφίκοντο καὶ ταύτῃ ἐπὶ
V. 14 πολὺ ἐπὶ Ἑνετοὺς διήκουσαν καταστρεψάμενοι ᾤκησαν, εἴτε
C δὴ τοὐναντίον μᾶλλον εἰπεῖν ἄμεινον, ὡς ἐντεῦθεν ἀπὸ τῆς ἐς
τὸν Ἰόνιον χώρας ὡρμημένοι καὶ Ἴστρον διαβάντες ἐπέκεινα
ἐγένοντο τῆς οἰκουμένης, οὐκ ἂν δὴ λεγόμενον ἀσφαλῶς λέ-
γοιτο ὑφ' ἡμῶν. τοσόνδε μέντοι ἐπίσταμαι, ὡς τοῖς ὀνόμασι
ταῦτα δὴ τὰ γένη διεστηκότα ἀλλήλων ἤθεσι μὲν οὐκέτι,

γλώττῃ δὲ καὶ φωνῇ τῇ αὐτῇ χρώμενοι κατάδηλοί εἰσιν ἔτι καὶ νῦν. ὡς μέντοι διέσπαρται ἀνὰ τὴν Εὐρώπην, πολλαχῇ ᾤκησαν, ἄλλῃ τε δὴ καὶ ἔν τινι τῆς Πελοποννήσου χώρας τε τῆς Λακωνικῆς ἐς τὸ Ταΰγετον ὄρος καὶ ἐς τὸ Ταίναρον ᾠκημένον. ᾧ δὴ καὶ ἀπὸ Δακίας ἐπὶ Πίνδον τὸ ἐς Θετταλίαν καθῆκον D ἐνοικῆσαν ἔθνος. Βράχοι δὲ ἀμφότεροι ὀνομάζονται· καὶ οὐκ ἂν δὴ ἔχω διεξιέναι ὁποτέρους ἂν τούτων λέγοιμι ἐπὶ τοὺς ἑτέρους ἀφικέσθαι. οὕτω δὴ κἀνταῦθα τούς τε Τριβαλλοὺς καὶ Μυσοὺς καὶ Ἰλλυριοὺς καὶ Κροατίους καὶ Πολανίους καὶ Σαρμάτας τὴν αὐτὴν ἐπίσταμαι ἱέντας φωνήν· εἰ δέοι ταύτῃ τεκμαιρόμενον λέγειν, εἴη ἂν τοῦτο τὸ γένος ταὐτό τε καὶ ἓν καὶ ὁμόφυλον ἑαυτῷ. ὑπὸ δὲ τοῦ καιροῦ ἐς ἤθη τε διενηνεγμένα ἀλλήλων καὶ ἐπὶ χώραν ἄλλην ἀφικόμενοι ᾤκησαν. οὐκοῦν δὴ λέγεται πρὸς οὐδένων ὥστε σαφές τι περὶ αὐτῶν ἔχειν ἡμᾶς ἐς ἱστορίαν ἀποδείκνυσθαι. βασίλεια μὲν ἔστιν αὐτοῖς κἀνταῦθα τοῦ Ἴστρου καὶ πέραν τε, P. τό τε γένος τοῦτο πολὺ μεῖζον καὶ ἐπὶ πολὺ μᾶλλον διῆκον, ὥστ' ἂν μᾶλλον ἐκεῖθεν φάναι κάλλιον παρέχον ἐπὶ τάδε ἀφικέσθαι τὸ γένος τοῦτο, καὶ οἰκῆσαι πρὸς τῇ κατὰ τὸν Ἰόνιον χώρᾳ, καὶ [παρὰ] τὸν Ἴστρον διαβῆναι, καὶ αὐτοῦ μᾶλλον οἰκῆσαι ἢ ἐντεῦθεν ὡρμημένον ἐπὶ τὰ ἐκεῖ τῆς οἰκουμένης σχεδόν τι ἀοίκητα ἀφικέσθαι. εἴτε μὲν οὖν ἀνάγκῃ τινὶ

προηγμένον, εἴτε καὶ ἑκούσιον ἐπ' ἄμυναν στελλόμενον χωρὶς
οὕτω ἀπ' ἀλλήλων ἀπῳκισμένον ἔτυχεν ὥς ἔστιν ἰδεῖν, τε-
κμαίρεσθαι μᾶλλόν τι ἢ διισχυρίζεσθαι δέοι ἄν. ἐντεῦθεν μὲν
οὖν καὶ τήν τε ἄνω Μυσίαν καὶ κάτω Μυσίαν φάναι καλῶς
B ἔχειν οἴονται ἔνιοι, ὡς τὴν ἄνω Μυσίαν οὐ τὴν ἐς τὰ ἄνω
τοῦ Ἴστρου ἀλλὰ τὴν ἐς τὸ πέραν τοῦ Ἴστρου ᾠκημένην χώ-
ραν, τὴν δὲ κάτω Μυσίαν οὐ τὴν ἐς τὰ κάτω τοῦ Ἴστρου
ἀλλὰ τὴν ἐπὶ τοῦτο τοῦ Ἴστρου χώραν, ἔστε ἐπὶ Ἰταλίαν κα
θήκουσαν. τοὺς μέντοι Ἰουργάρους, οὓς κάτω Μυσίαν κα-
λοῦσιν οἱ ἄμεινον Ἑλληνικῆς ἐπαΐοντες φωνῆς, ἐπίσταμαι κα-
θήκειν ἐπὶ τὸν Ἴστρον ἀπὸ τῆς Βιδίνης πόλεως ἔστε ἐπὶ Εὔ-
ξεινον πόντον, ἐν Τρινάβῳ πόλει τὰ βασίλεια σφίσιν ἀπο-
δεικνυμένους.



Δάκας τε καὶ Λιτουάνους, γένος τῶν Ἰλλυριῶν φωνῇ τὰ πολλὰ
διαχρώμενον. καὶ διαίτῃ τε καὶ ἤθεσι τοῦ Ἰησοῦ νόμοις
ἔποικοι, ἐπὶ τοὺς Ἕλληνας μᾶλλον τετραμμένοι οὐ πάνυ συμ-
φέρονται τῷ Ῥωμαίων ἀρχιερεῖ, Ἑλληνικῷ δὲ ἀρχιερεῖ χρῶν-
ται, καὶ τούτῳ πείθονται τὰ ἐς θρησκείαν τε καὶ δίαιταν
σφίσι. καὶ ἤθεσι τοῖς αὐτοῖς Ἑλλήνων διαχρώμενοι, σκευῇ
τῇ Σκυθῶν παραπλησίᾳ προσχρῶνται. τὰ μέντοι πρὸς Εὔ-
ξεινον πόντον Σαρματῶν γένη, ἀπὸ Λευκοπολίχνης καλουμέ-
νης, ἡγεμονίαι τε διαλαγχάνουσι τὰ πολλά, τό τε Μοσχόβιον V. 55
τε καὶ Κίεβος καὶ τὸ Φάρι καὶ Χωρόβιον, πόλεις ὑπὸ τυ-
ράννους εὐθυνόμεναι, ἐς τὴν μέλαιναν οὕτω ὑπὸ σφῶν αὐτῶν D
καλουμένην Σαρματίαν τελοῦσι. τὰ δὲ πρὸς ὠκεανὸν ὑπὸ
τὴν ἄρκτον οἰκημένα γένη λευκὴν Σαρματίαν καλοῦσι. πρὸς
μέντοι ὠκεανὸν πόλις Οὐγκράτης καλουμένη, ἐς ἀριστοκρα-
τίαν τετραμμένη, ὄλβον τε παρέχεται καὶ αὐτὴν εὐδαιμονίᾳ
ὑπερφέρουσαν τῶν ἄλλων τῆς Σαρματίας πόλεων, τῆς τε
λευκῆς καὶ μελαίνης οὑτωσὶ καλουμένης. καὶ διήκει ἐπ' ὠκεα-
νὸν αὕτη ἡ χώρα, Ἰνφλάστη καλουμένη. ἔνθα δὴ ἁρμίζον-

Ιωάννης Καντακουζηνός, Ιστορία

σάμενοι ἐπολιόρκουν· οὔσης δὲ ἐντὸς ἀξιομάχου στρατιᾶς, A.C. 13 ἤνυον οὐδὲν, ἀλλὰ ἐκακοπάθουν. ὁ γὰρ Τερτερὴς ἅμα τῷ τὴν Φιλιππούπολιν κατασχεῖν, δείσας μὴ αὖθις οἱ Ῥωμαῖοι ἐπελθόντες, διὰ τὴν ὀλιγανδρίαν, ὥσπερ καὶ αὐτὸς, ἕλωσιν D αὐτὴν, ἅμα δ' ὅτι καὶ ἐν ὁρίοις ἦν τῆς ἐκείνου καὶ Ῥωμαίων ἡγεμονίας, χιλίους μὲν ἱππέας λογάδας ἐξ Ἀλανῶν καὶ Μυσῶν, καὶ δὶς τοσούτους πεζοὺς πελταστὰς, οἳ δοκοῦσι μαχιμώτατοι εἶναι παρ' αὐτοῖς, τὴν πόλιν ἔπεμψε φρουρεῖν. ἄρχοντες δὲ ἦσαν αὐτῶν ὅ, τε Ἰτίλης καὶ ὁ Τεμήρης, τὸ γένος Ἀλανοὶ, καὶ Ἰνᾶς ὁ ἐξ Οὔγκρων· στρατηγὸς δὲ ἐπὶ πᾶσιν Ἰβάνης ὁ Ῥῶς κατά τε χεῖρα γενναῖος καὶ ἐμπειρότατος στρατηγεῖν· οἳ καὶ τετελευτηκότος τοῦ βασιλέως αὐτῶν, οὐ κατέλιπον τὴν πόλιν, ἀλλ' ἐφρούρουν μένοντες. τότε δὲ πολιορκούμενοι ὑπὸ βασιλέως, ἔξω μὲν πυλῶν ὡς ἐς μάχην παραταξόμενοι προήεσαν οὐδαμῶς· τὰς πύλας δὲ ἀποικοδομήσαντες, ἀπὸ τῶν τειχῶν ἠμύνοντο καρτερῶς καὶ ἐκάκουν πολλὰ τὴν βασιλέως στρατιάν. ἐπολιόρκησε μὲν οὖν αὐτοὺς ὁ βασιλεὺς ἐπὶ τέσσαρσι μησὶ συνεχῶς ὁσημέραι τειχομαχῶν. ἀπαγορεύοντος δὲ τὴν παράληψιν ἤδη, ἐκ Γερμανῶν τις P. 108 περὶ τειχομαχικὰς μηχανὰς ἐξησκημένος, ὡς ἐν ῥᾳδίῳ τῆς ἐπιχειρήσεως ἐδόκει ἡ πόλις κεῖσθαι, ἐλπίδας τῆς ἁλώσεως οὐ φαύλας ὑπετίθει τῷ βασιλεῖ, καὶ ἐδημιούργει τὸ μηχάνημα, προστάξαντος βασιλέως. ἦν δὲ τοιόνδε· ἐπὶ τροχοῖς ἐκ- V. 87

τις ἐπίῃ, ἀμύνεσθαί τε, ἂν ἐξῇ, καὶ ἡσυχίαν ἄγειν πρὸς τὰ A.C. 1328
καρτερώτατα ἀποχωρήσαντας. οἱ μὲν οὖν οὕτω βουλευσάμε-
νοι, τὸν Κάμαριν μὲν ἐκέλευον ἕπεσθαι αὐτοῖς, ὡς ἂν εἰδέ-
ναι ἔχῃ τὸ στρατόπεδον βασιλέως ὅπῃ εἴη· τὸν δ' ἕτερον εἰς
Βυζάντιον ὡς καὶ τοῖς ἑτέροις τὰ πεπραγμένα ἀπαγγελοῦντα
ἀπιέναι. ἐλθόντες δὲ παρὰ τὸν Μέλανα ποταμὸν, ἔνθα καὶ
ἡ λοιπὴ στρατιὰ ἅμα πρωτοστράτορι ἐστρατοπεδευμένη ἦν,
τά τε περὶ τῶν πραττόντων τὴν ἅλωσιν αὐτῷ ἐκοινοῦντο Βυ- B
ζαντίου, καὶ ὅσα πύθοιντο περὶ τῶν Μυσῶν καὶ περὶ τῆς εἰς
Λόγους στρατοπεδείας, προστιθέντες καὶ τὰς αἰτίας. καὶ ἐπει- V. 145
δὴ καὶ αὐτῷ ἐδόκει καλῶς ἔχειν, ἄραντες ἐκεῖθεν, ἐστρατο-
πεδεύσαντο ἐν Λόγους. καὶ ἐς τὴν ὑστεραίαν ἠγγέλθη αὐτοῖς,
ὡς στράτευμα Μυσῶν περὶ τρισχιλίους ἵππους ἧκεν εἰς Βυ-
ζάντιον κατὰ συμμαχίαν τῷ πρεσβυτέρῳ βασιλεῖ· ἡγεῖται δὲ
αὐτῶν Ἰβάνης ὁ Ῥώς. ἐθορύβησε μὲν οὖν οὐ μετρίως τοῦτο
τὸν νέον βασιλέα. ἐξετάζοντι δ' αὐτῷ ἅμα τῷ μεγάλῳ δομε-
στίκῳ καὶ πρωτοστράτορι ὅ, τι τὸ πεῖσαν τὸν βασιλέα Μυσῶν
τὰς μὲν πρὸς αὐτὸν σπονδὰς ἠθετηκέναι καὶ τοὺς ὅρκους, ἀδελ- C
φῆς ὄντα σύνοικον, τῷ πρεσβυτέρῳ δὲ βασιλεῖ συμμαχεῖν,
ὑπενόουν μὴ ἀληθεῖς εἶναι τὰς γεγενημένας συνθήκας καὶ τὴν
συμμαχίαν, ἀλλὰ συνιδόντα τὸν Μυσὸν, ὡς ὁ πρεσβύτερος βα-
σιλεὺς ἅμα μὲν ἔχθει τῷ πρὸς τὸν ἔγγονον, ἅμα δὲ καὶ δέει
τοῦ μὴ τοὺς συνόντας αὐτῷ Ῥωμαίων διεφθάρθαι ὑπ' ἐκείνου
καὶ ἐπιβουλεύειν αὐτῷ, ῥᾶον ἂν παραδέξαιτο ἐν βασιλείοις
φρουρὰν Μυσῶν, οἰόμενος οἷα ξένους καὶ συμμάχους αὐτῷ
μᾶλλον εὐνοεῖν, πέμψαι τὸν στρατὸν, πρόφασιν μὲν, ὡς μα-

C. 1328 χουμένους ἡμῖν ὑπὲρ αὐτοῦ, τῇ δ' ἀληθείᾳ, εἰ δύναιντο τῶν βασιλείων κρατῆσαι κατ' ὀλίγους εἰσελθόντες· εἶτα καὶ αὐτὸς D πανστρατιᾷ ἐλθὼν, Βυζαντίους τε ποιήσεσθαι ὑποχειρίους καὶ οὕτως ἤδη καὶ τῇ ἄλλῃ ἐπιθήσεσθαι Ῥωμαίων ἡγεμονίᾳ. καὶ τεκμήριον ἐποιοῦντο τὸ ἐπάγεσθαι καὶ Σκύθας συμμάχους δέει τοῦ μὴ βοηθεῖν αὐτοῖς ἐς Βυζάντιον, εἴ τι γένοιτο τοιοῦτον. τοιαῦτα μὲν αὐτοὶ ἐκ λογισμῶν περὶ τῆς συμμαχίας ὑπενόουν. ἦσαν δὲ καὶ ἀληθῆ, ὡς ὕστερον ἀκριβῶς ἐξεγένετο μαθεῖν. ὑπετίθει δὲ τὴν βουλὴν τῷ βασιλεῖ Μυσῶν ἐκ τῶν αὐτομόλων παρ' αὐτῷ Ῥωμαίων τις καὶ ἐπηγγέλλετο αὐτῷ καὶ τὸ ἔργον καταπράξεσθαι αὐτός. διὸ καὶ ᾑρέθη πρὸς τὴν συμμαχίαν πρεσβευτής. πείρας δὲ ἕνεκα ὁ βασιλεὺς πέμψας πρὸς Ἰβάνην, ἐκέλευεν ἀναχωρεῖν ἐκ τῆς Ῥωμαίων· σπονδῶν γὰρ οὐσῶν αὐτῷ πρὸς βασιλέα Μυσῶν τὸν γαμβρὸν, αὐτὸν εἰς P. 182 τὴν Ῥωμαίων παρεληλυθέναι ἔχοντα στρατιάν. εἰ μὲν οὖν αὐτῷ βοηθήσων ἥκει, εἰς τὴν ἰδίαν ἀναχωρεῖν· μὴ δεῖσθαι γὰρ αὐτοῦ· εἰ δὲ πολεμήσων, ἐκδέχεσθαι αὐτὸν ὡς ἐπὶ μάχην. βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπε πειρώμενος Ἰβάνη. ἐδόκει γὰρ οὐ λυσιτελεῖν ἐν τῷ τότε πόλεμον ἄρασθαι πρὸς Μυσούς. Ἰβάνης δὲ ὅρκοις ἐγγράφοις διεβεβαιοῦτο πρὸς βασιλέα, μήτε τὸν αὐτοῦ δεσπότην παρεσπονδηκέναι, ἀλλ' ἐμμένειν ταῖς σπονδαῖς ταῖς πρὸς αὐτὸν, μήτ' αὐτὸν καὶ τὴν στρατιὰν κατ' αὐτοῦ ἐνθάδε ἥκειν. ἀναγνοὺς δὲ τοὺς ὅρκους ὁ βασιλεὺς, μᾶλλον ἐπεῤῥώσθη πρὸς τὸ ἀληθῆ εἶναι ἃ αὐτὸς ὑπενόει περὶ τῆς

24. Videtur deesse ὑπολαμβάνειν, aut quid eiusmodi. *ED. P.* Ego nihil ad integritatem desidero.

συμμαχίας τῶν Μυσῶν. καὶ αὐτίκα τὸν Πεπαγωμένον Γεώργιον A.C. πέμψας πρὸς βασιλέα τὸν πάππον, ἐδεῖτο αὐτοῦ μὴ τοὺς B λόγους ὑποπτεύειν ὡς πολεμίου, ἀλλὰ πείθεσθαι καὶ Ῥωμαίοις καὶ αὐτῷ συμβουλεύοντι λυσιτελοῦντα. καὶ τοῖς κατὰ συμμαχίαν ἥκουσι Μυσοῖς πρὸς μὲν τὸν κατ' αὐτοῦ πόλεμον ὅ, τι ἂν βούλοιτο χρῆσθαι, βασιλείων δὲ ἐντὸς μήτε ἅμα πλείους δέχεσθαι Μυσῶν, μήτε ὡπλισμένους· ἀλλ' εἴ ποτε καὶ ἐσίοιεν, ὀλίγους τε καὶ κατὰ διαδοχὰς, ἵνα μὴ δοκοῖεν προπηλακίζεσθαι σύμμαχοι ὄντες, καὶ ὅπλων χωρὶς, μάλιστα δὲ ἐν ἀρίστου τῇ ὥρᾳ πλείω ποιεῖσθαι φυλακήν. οὐ μὴν ἀλλὰ καὶ βασιλείων ἐντὸς στρατιὰν ἐγκαθιδρύσαι ἀξιόμαχον Ῥωμαίων, C καὶ ἐν φυλακῇ πάσῃ ἑαυτόν τε καὶ τὴν πόλιν τηρεῖν. ὑπονοεῖν γὰρ ἐκ τῶν πραγμάτων, ὡς τῇ στρατιᾷ Μυσοῖς πρὸς τοῦ σφετέρου βασιλέως εἴη προστεταγμένον, τὰ βασίλεια, εἰ V. 14 δύναιντο, δόλῳ κατασχεῖν, καὶ διὰ τοῦτο καὶ αὐτὸν πανστρατιᾷ καὶ συμμάχοις ἅμα Σκύθαις ἐν μεθορίοις τῆς αὐτοῦ καὶ Ῥωμαίων ἡγεμονίας ἐστρατοπεδεῦσθαι, ὡς εἰ κατορθοῖτο ἃ προσετέτακτο Ἰβάνῃ, ἐν ὀλίγῳ ἐπιβοηθοίη καὶ αὐτός. ἀκούσας δὲ ὁ βασιλεὺς ἃ μηνύοιτο παρὰ βασιλέως τοῦ ἐγγόνου, τῷ Πεπαγωμένῳ μὲν ἐκέλευεν ἀπαγγέλλειν αὐτῷ τὰ ἴδια εὖ τίθεσθαι, καὶ μὴ ἑτέροις ὑπὸ φιλοτιμίας εἶναι βούλεσθαι διδάσκαλον. οὐχ ἧσσον γὰρ αὐτὸς εἶναι ἔμπειρος πραγμάτων, D

A.C.1328 ἢ ἑαυτὸν οἴεται αὐτός. αὐτίκα δὲ τοῖς βασιλείοις ἐπέστησε φρουρὰν καὶ εἶχε διὰ φυλακῆς ἀσφαλοῦς, καὶ πάντα ἔπραττεν ὅσα ὁ ἔγγονος παρῄνει.

νή. Βασιλεὺς δὲ ὁ νέος πρὸς Μιχαὴλ τὸν βασιλέα Μυ- P.183 σῶν τὸν Ῥουντζέριον Ἰωάννην πέμψας πρεσβευτὴν, ἀκηκοέναι ἔφασκεν, αὐτὸν ἐν ὁρίοις τῆς Ῥωμαίων ἡγεμονίας στρατοπεδεύειν· ἀγνοεῖν μέντοι τὴν ἄφιξιν αὐτοῦ ὅ, τι εἴη. εἰ μὲν οὖν λύσας τοὺς ὅρκους καὶ τὰς σπονδὰς τὰς πρὸς αὐτὸν, πόλεμον ἄρασθαι βούλεται, μαθεῖν ἐθέλειν, ὅπως καὶ αὐτὸς παρασκευάζοιτο ἐκ τοῦ ὁμοίου· εἰ δέ του ἑτέρου ἕνεκα ἡ ἐκστρατεία εἴη, μὴ ἀγνοεῖν. ὅμως μέντοι γε τό, τε ἄκλητον ἥκειν τεκμήριον ποιεῖσθαι τοῦ κατ' αὐτοῦ χωρεῖν, καὶ τὸ Βυζαντίοις συμμαχίαν ἅμα Ἰβάνῃ ἐς τρισχιλίους στρατιώτας πέμψαι οὖσι πολεμίοις, φανερῶς αὐτῷ πολεμοῦντος εἶναι. B θαυμάζειν δὲ αὐτοῦ, εἰ πυθόμενος περὶ Βυζάντιον διατρίβοντος αὐτοῦ, τοσούτους πέμψειε στρατιώτας συμμαχήσοντας τοῖς πολεμίοις· ἢ ἀγνοεῖν ὡς οὐ στρατεύματι χρήσεται πρὸς αὐτοὺς εἰδόσι πολεμεῖν, ἀλλὰ τοῖς γεωργοῖς κελεύσας, ἀδυνατωτέραν θήσουσι τὴν ἐπάνοδον αὐτοῖς ἢ ἐξ ᾅδου πυλῶν. βασιλεὺς μὲν οὖν τοιαῦτα ἐπρεσβεύετο. Μιχαὴλ δὲ